# Φοίνικες



Ἀπολλοδώρου: (τοῦ Ἀθηναίου Γραμματικοῦ): Βιβλιοθήκης Βιβλίον Α'! Κεφ. Α.

Ἐν Car. et Theod. Mülleri: Fragmenta Historicorum graecorum v. I. σ. 150

Ὡς γὰρ ἤδη λέλεκται, ὅτι Λιβύη ἐγέννησε παῖδας ἐκ Ποσειδῶνος, Βῆλον καὶ Ἀγήνορα....

Βῆλος μὲν οὖν βασιλεύων Αἰγυπτίων...

Ἀγήνωρ δὲ [παραγενόμενος εἰς τὴν Εὐρώπην] γαμεῖ Τηλέφασσαν καὶ τεκνοῖ θυγατέρα μὲν Εὐρώπην, παῖδας δὲ Κάδμον καὶ Φοίνικα καὶ Κίλικα.....

Ἀφανοῦς δὲ Εὐρώπης γενομένης, ὁ πατὴρ αὐτῆς Ἀγήνωρ ἐπὶ ζήτησιν ἐξέπεμψε τοὺς παῖδας, εἰπὼν μὴ πρότερον ἀναστρέφειν πρὶν ἂν ἐξεύρωσιν Εὐρώπην.

Συνεξῆλθε δὲ ἐπὶ τὴν ζήτησιν αὐτῆς Τηλέφασσα ἡ μήτηρ, καὶ Θάσος ὁ Ποσειδῶνος, ὡς δὲ Φερεκύδης φησί, Κίλικος.....

Ὡς δὲ πᾶσαν ποιούμενοι ζήτησιν εὑρεῖν ἦσαν Εὐρώπην ἀδύνατοι....

Κάδμος καὶ Τηλέφασσα ἐν Θράκῃ κατῴκησαν. Ὁμοίως δὲ καὶ Θάσος ἐν Θράκῃ κτίσας πόλιν, Θάσον κατῴκησεν.

Αὐτ. Κεφ. Δ'! σ. 153

Κάδμος δέ, ἀποθανοῦσαν θάψας Τηλέφασσαν, ὑπὸ Θρᾳκῶν ξενισθείς, ἦλθεν εἰς Δελφοὺς περὶ τῆς Εὐρώπης πυνθανόμενος.

Ὁ δὲ θεὸς εἶπε, χρῆσθαι καθοδηγῷ βοΐ, καὶ πόλιν κτίζειν ἔνθα ἂν αὐτὴ πέσῃ καμοῦσα.... ἔνθα νῦν εἰσὶ Θῆβαι.

Αὐτ. Βιβλ. Β'! Κεφ. Ε'! σ. 138

Ὄγδοον ἆθλον ἐπέταξεν αὐτῷ (τῷ Ἡρακλεῖ) τὰς Διομήδους τοῦ Θρᾳκὸς ἵππους εἰς Μυκήνας κομίζειν. Ἦν δὲ οὗτος Ἄρεος καὶ Κυρήνης, βασιλεὺς Βιστόνων ἔθνους Θρᾳκίου καὶ μαχιμωτάτου. Εἶχε δὲ ἀνθρωποφάγους ἵππους. Πλεύσας οὖν μετὰ τῶν ἑκουσίως συνεπομένων, βιασάμενος τοὺς ἐπὶ ταῖς φάτναις τῶν ἵππων ὑπάρχοντας ἤγαγεν ἐπὶ τὴν θάλασσαν.

Τῶν δὲ Βιστόνων σὺν ὅπλοις ἐπιβοηθούντων, τὰς μὲν ἵππους παρέδωκεν Ἀβδήρῳ φυλάττειν· οὗτος δὲ ἦν Ἑρμοῦ παῖς, Λοκρὸς ἐξ Ὀποῦντος, Ἡρακλέους ἐρώμενος, ὃν

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

αἱ ἵπποι διέφθειραν ἐπισπασάμεναι.

Πρὸς δὲ τοὺς Βίστονας διαγωνισάμενος, καὶ Διομήδην ἀποκτείνας, τοὺς λοιποὺς ἠνάγκασε φεύγειν, καὶ κτίσας πόλιν Ἄβδηρα παρὰ τὸν τάφον τοῦ διαφθαρέντος Ἀβδήρου, τοὺς ἵππους κομίσας Εὐρυσθεῖ ἔδωκε.

Απ. 2.7.139

Πολεμήσων Τροίαν ἀποπλεύσας (Ἡρακλῆς) ἀνήχθη καὶ προσέσχε Αἴνῳ.
Ἔνθα ξενίζεται ὑπὸ Πόλτυος.
Ἀποπλέων δὲ ἐπὶ τῆς ἠϊόνος τῆς Αἰνίας Σαρπηδόνα, Ποσειδῶνος μὲν υἱόν, ἀδελφὸν δὲ Πόλτυος, ὑβριστὴν ὄντα, τοξεύσας ἀπέκτεινε.
Καὶ παραγενόμενος εἰς Θάσον, καὶ χειρωσάμενος τοὺς ἐνοικοῦντας Θρᾷκας, ἔδωκε Ἀνδρόγεω παισὶ κατοικεῖν.

Απ. 2.140

Ὡς δὲ ἦλθε (ὁ Ἡρακλῆς) ἐπὶ τοὺς μυχοὺς τοῦ πόντου, ταῖς βουσὶν οἶστρον ἐνέβαλεν ἡ Ἥρα, καὶ σχίζονται κατὰ τὰς τῆς Θρᾴκης ὑπωρείας· ὁ δὲ διώξας, τὰς μὲν συλλαβὼν ἐπὶ τὸν Ἑλλήσποντον ἤγαγε, αἱ δὲ ἀπολειφθεῖσαι τὸ λοιπὸν ἦσαν ἄγριαι.
Μόλις δὲ τῶν βοῶν συνελθουσῶν Στρυμόνα μεμψάμενος τὸν ποταμόν, πάλαι τὸ ῥεῖθρον πλωτὸν ὄν, ἐμπλήσας πέτραις, ἄπλωτον ἐποίησε, καὶ τὰς βόας Εὐρυσθεῖ κομίσας δέδωκε.